eul_wid: hps-bq

*Μένανδρος ὁ Ἀθηναῖος* · Menander of Athens

## Hero

*Ἥρως*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

1 ΓΕΤΑΣ
1.1 κακόν τι Δᾶέ μοι δοκεῖς πεποηκέναι
1.2 παμμέγεθες, εἶτα προσδοκῶν ἀγωνιᾶν
1.3 μυλῶνα σαυτῶι καὶ πέδας· εὔδηλος εἶ.
1.4 τί γὰρ σὺ κόπτεις τὴν κεφαλὴν οὕτω πυκνά;
5.1 τί τὰς τρίχας τίλλεις ἐπιστάς; τί στένεις;
5.2 (ΔΑΟΣ)
6.1 οἴμοι.
6.2 Γετ τοιοῦτόν ἐστιν, ὦ πόνηρε σύ.
6.3 εἶτ’ οὐκ ἐχρῆν, κερμάτιον εἰ συνηγμένον
6.4 σοὶ τυγχάν]ει τι, τοῦτ’ ἐμοὶ δοῦναι τέως
10 [ ]τα κατὰ σεαυτὸν πράγματα
10.1 [ σ]υνάχθομαί γε σοι
10.2 [ ]ηρα.
10.3 Δα σὺ μὲν οὐκ οἶδ’ ὅ τι
10.4 ληρεῖς. (8—10 litt.) π]έπλεγμαι πράγματι
10.5 [ ] ἔφθαρμαι, Γέτα.
14 (Γετ) [ .]
15.1 [Δα] μὴ καταρῶ, πρὸς 〈τῶν〉 θεῶν,
15.2 [ ἐρῶντι.]
15.3 [Γετ] τί σὺ λέγεις; ἐρᾷς;
15.1 Δα ἐρῶ.
15.2 (Γετ) πλέον δυοῖν σοι χοινίκων ὁ δεσπότης παρέχει. πονηρόν, Δᾶ’· ὑπερδειπνεῖς ἴσως.
15.3 Δα πέπονθα τὴν ψυχήν τι παιδίσκην ὁρῶν
15.4 συντρεφομένην ἄκακον, κατ’ ἐμαυτόν, ὦ Γέτα.

Γετ δούλη ’στιν;
(Δα) οὕτως, ἡσυχῆι, τρόπον τινά.
ποιμὴν γὰρ ἦν Τίβειος οἰκῶν ἐνθαδὶ
Πτελέασι, γεγονὼς οἰκέτης νέος ὤν ποτε.
ἐγένετο τούτωι δίδυμα ταῦτα παιδία,
ὡς ἔλεγεν αὐτός, ἥ τε Πλαγγών, ἧς ἐρῶ—
(Γετ) νῦν μανθάνω.
Δα τὸ μειράκιόν θ’, ὁ Γοργίας.
〈Γετ〉 ὁ τῶν προβατίων ἐνθάδ’ ἐπιμελούμενος
νυνὶ παρ’ ὑμῖν;
Δα οὗτος. ὢν ἤδη γέρων
ὁ Τίβειος ὁ πατὴρ εἰς τροφήν γε λαμβάνει
τούτοις παρὰ τοὐμοῦ δεσπότου μνᾶν, καὶ πάλιν
(λιμὸς γὰρ ἦν) μνᾶν, εἶτ’ ἀπέσκλη.
Γετ τὴν τρίτην
ὡς οὐκ ἀπεδίδου τυχὸν ὁ δεσπότης ὁ σός.
(Δα) ἴσως. τελευτήσαντα δ’ αὐτὸν προσλαβὼν
ὁ Γοργίας τι κερμάτιον ἔθαψε καὶ
τὰ νόμιμα ποιήσας πρὸς ἡμᾶς ἐνθάδε
ἐλθὼν ἀγαγών τε τὴν ἀδελφὴν ἐπιμένει
τὸ χρέος ἀπεργαζόμενος.
Γετ ἡ Πλαγγὼν δὲ τί;
Δα μετὰ τῆς ἐμῆς κεκτημένης ἐργάζεται
ἔρια διακονεῖ τε, παιδίσκη πάνυ,
Γέτα—καταγελᾶις;
(Γετ) μὰ τὸν Ἀπόλλω.
Δα πάνυ, Γέτα,
ἐλευθέριος καὶ κοσμία.
(Γετ) τί οὖν σύ; τί πράττεις ὑπὲρ σαυτοῦ;
(Δα) λάθραι μέν, Ἡράκλεις,
οὐδ’ ἐγκεχείρηκ’, ἀλλὰ τὠμῶι δεσπότηι
εἴρηχ’, ὑπέσχηταί τ’ ἐμοὶ σ[υνοικιεῖν
αὐτὴν διαλεχθεὶς πρὸς [τὸν ἀδελφόν.
[Γετ λαμπρὸς εἶ.
(Δα) τί λαμπρός; ἀποδημεῖ τρ[ίμηνον ἐπί τινα
πρᾶξιν ἰδίαν εἰς Λῆμ[νον
ἐχόμεθα τῆς αὐτῆς.[
σώιζοιτο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Γετ) χρηστὸς [ ὄνησις εἴη.
45.6 (?) πολυπ[ φρονεῖς· ἐγὼ γὰρ κλι[
45.7 θύσαιμ’ ἀνονητο.[
45.8 ὧι ξυλοφορῶ[
45.9 [ ]ελοιμ’ ω[
45.10 [ ]ι[..]σοι [...] τοῦτο τ[
54 ΧΟΡ[ΟΥ
55 [?ΛΑΧΗΣ]
55.1 [ ὦ Ἡρά]κλεις, ἔα μ’· αμαρ[
55.2 [ ]διδωμι νυμφ[
55.3 [ ]μα[
55.4 [ ]ρην[ [ ]ι ὅτι τῆς πολλῆς [
60.1 [ ]ε..[.] ἄσωτο[
60.2 [ ]συνδοκ[
60.3 [ λε]γει δ’ αὐτῶι πόθ[εν
60.4 [ ] τινα[
60.5 [ ]ονκ[
65.1 [ ]ισι.ο[
65.2 τούτωι. (?) πο[
65.3 μᾶλλον δι[
65.4 τὴν Θρᾶιττα[ν
65.5 (?Λα) σύ, τάλαινα.
70.1 〈ΜΥΡΡΙΝΗ〉 τί;
70.2 (?Λα) φανερῶς γε νὴ Δί’, ὦ γύναι—
70.3 ἐς κόρακας.
70.1 〈Μυ〉 ἐξέστηκας· οἷα γὰρ λέγεις.
70.2 (?Λα) ἃ καὶ ποήσω καὶ δέδοκταί μοι πάλαι—
70.3 ἱδρώς, ἀπορία—νὴ Δί’ εὖ γ’ ὦ Μυρρίνη
70.4 ἐπ’ ἐμαυτὸν ἔλαβον ποιμέν’ ὃς βληχώμενον
70.5 [ ]ον τρ[
75.1 [ ]ρ ἀνδρια[
75.2 [Μυ] ὡς οἰκτρόν, ἣ τοιαῦτα δυστυχῶ μόνη
75.3 ἃ μηδὲ πιθανὰς τὰς ὑπερβολὰς ἔχει.
75.4 [?Λα] [ ] πάθος ἡ γνώμη σφό[δρα.
75.5 [ ἠδίκηκε]ν ἐκ βίας σέ τις ποτέ;
80 [Μυ] [ γά]ρ.
80.1 [?Λα] ὑπονοεῖς ὅστ[ις [ ]τιγημ
80.2 [ .. ]ρ[
80.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(Α) ἠισχύνεθ’ οὗτο[ς
(Β) Ἀλέας Ἀθάνασ[
(Α) .υ δῆτα· καὶ μ[
ἐλθεῖν ἐκει[
(?Α) νὴ τὸν Ποσ[ειδῶ
λαβεῖν οδε[
.λθ[
[]ι γε σύ
[]ς ὅτι
[]ρέστατον
[π]ρῶτον λέγε
ἔ]τη ’στιν ὀκτὼ καὶ δέκα.
(Μυ) οὐκ ἔστιν μόνη
[ ]αῦτ’· ἔστω δὲ ταῦτ’, εἰ σοὶ δοκεῖ.
(Λα) [ ]ς τὸ πρᾶγμα γίνεται. πῶς λανθάνει ὁ π]ρ[οσ]πεσών σε; πῶς δ’ ἀπε[...]ε; πηνίκα [

Eulogikon public reading copy · View original HTML at eulogikon.org